τὰ ῥωμαλέα τοὺς στομάχους καὶ ὑγιεινότατα τῶν ζῴων ὄφεις
ἐσθίοντα καταπέττει καὶ σκορπίους, ἔστι δ' ἃ καὶ λίθοις καὶ
B ὀστράκοις τρέφεται μεταβάλλουσι δι' εὐτονίαν καὶ θερμότητα
πνεύματος, οἱ δὲ σικχοὶ καὶ νοσώδεις ἄρτον καὶ οἶνον προσφε-
ρόμενοι ναυτιῶσιν, οὕτως οἱ μὲν ἀνόητοι καὶ τὰς φιλίας
διαφθείρουσιν, οἱ δὲ φρόνιμοι καὶ ταῖς ἔχθραις ἐμμελῶς χρῆ-
σθαι δύνανται.

**3.** *Πρῶτον μὲν οὖν δοκεῖ μοι τῆς ἔχθρας τὸ βλαβερώτατον
ὠφελιμώτατον ἂν γενέσθαι τοῖς προσέχουσιν. τί δὲ τοῦτό
ἐστιν; ἐφεδρεύει σου τοῖς πράγμασιν ἐγρηγορὼς ὁ ἐχθρὸς ἀεὶ
καὶ λαβὴν ζητῶν πανταχόθεν περιοδεύει τὸν βίον, οὐ διὰ
δρυὸς μόνον ὁρῶν ὡς ὁ Λυγκεὺς οὐδὲ διὰ πλίνθων καὶ λίθων,
C ἀλλὰ καὶ διὰ φίλου καὶ οἰκέτου καὶ διὰ συνήθους παντός
ὡς ἀνυστόν ἐστι φωρῶν τὰ πραττόμενα καὶ τὰ βουλευόμενα
διορύττων καὶ διερευνώμενος. οἱ μὲν γὰρ φίλοι καὶ νοσοῦν-
τες ἡμᾶς πολλάκις καὶ ἀποθνήσκοντες λανθάνουσιν ἀμελοῦν-
τας καὶ ὀλιγωροῦντας, τῶν δ' ἐχθρῶν μονονουχὶ καὶ τοὺς
ὀνείρους πολυπραγμονοῦμεν· νόσοι δὲ καὶ δανεισμοὶ καὶ δια-
φοραὶ πρὸς γυναῖκας αὐτοὺς ἐκείνους μᾶλλον ἢ τὸν ἐχθρὸν
λανθάνουσι. μάλιστα δὲ τῶν ἁμαρτιῶν ἔχεται καὶ ταύτας
ἐξιχνεύει. καὶ καθάπερ οἱ γῦπες ἐπὶ τὰς ὀσμὰς τῶν διεφθο-
ρότων σωμάτων φέρονται, τῶν δὲ καθαρῶν καὶ ὑγιαινόντων
D αἴσθησιν οὐκ ἔχουσιν, οὕτω τὰ νοσοῦντα τοῦ βίου καὶ φαῦλα
καὶ πεπονθότα κινεῖ τὸν ἐχθρόν, καὶ πρὸς ταῦτα οἱ μισοῦντες
ᾄττουσι καὶ τούτων ἅπτονται καὶ σπαράττουσι. τοῦτο οὖν
ὠφέλιμόν ἐστι; πάνυ μὲν οὖν, εὐλαβούμενον ζῆν καὶ προσέχειν*